18Καὶ εἶπεν Σαλωμων τοῦ οἰκοδομῆσαι οἶκον τῷ ὀνόματι κυρίου 18
καὶ οἶκον τῇ βασιλείᾳ αὐτοῦ. 1καὶ συνήγαγεν Σαλωμων ἑβδομήκον- 2
τα χιλιάδας ἀνδρῶν καὶ ὀγδοήκοντα χιλιάδας λατόμων ἐν τῷ ὄρει,
καὶ οἱ ἐπιστάται ἐπ᾽ αὐτῶν τρισχίλιοι ἑξακόσιοι. — 2καὶ ἀπέστει- 2
λεν Σαλωμων πρὸς Χιραμ βασιλέα Τύρου λέγων Ὡς ἐποίησας
μετὰ τοῦ πατρός μου Δαυιδ καὶ ἀπέστειλας αὐτῷ κέδρους τοῦ
οἰκοδομῆσαι ἑαυτῷ οἶκον κατοικῆσαι ἐν αὐτῷ, 3καὶ ἰδοὺ ἐγὼ ὁ 3
υἱὸς αὐτοῦ οἰκοδομῶ οἶκον τῷ ὀνόματι κυρίου θεοῦ μου ἁγιάσαι
αὐτὸν αὐτῷ τοῦ θυμιᾶν ἀπέναντι αὐτοῦ θυμίαμα καὶ πρόθεσιν διὰ
παντὸς καὶ τοῦ ἀναφέρειν ὁλοκαυτώματα διὰ παντὸς τὸ πρωὶ καὶ
τὸ δείλης καὶ ἐν τοῖς σαββάτοις καὶ ἐν ταῖς νουμηνίαις καὶ ἐν
ταῖς ἑορταῖς τοῦ κυρίου θεοῦ ἡμῶν, εἰς τὸν αἰῶνα τοῦτο ἐπὶ τὸν
Ισραηλ. 4καὶ ὁ οἶκος, ὃν ἐγὼ οἰκοδομῶ, μέγας, ὅτι μέγας ὁ θεὸς 4
ἡμῶν παρὰ πάντας τοὺς θεούς. 5καὶ τίς ἰσχύσει οἰκοδομῆσαι αὐτῷ 5
οἶκον; ὅτι ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐ φέρουσιν
αὐτοῦ τὴν δόξαν. καὶ τίς ἐγὼ οἰκοδομῶν αὐτῷ οἶκον; ὅτι ἀλλ᾽ ἢ
τοῦ θυμιᾶν κατέναντι αὐτοῦ. 6καὶ νῦν ἀπόστειλόν μοι ἄνδρα σο- 6
φὸν καὶ εἰδότα τοῦ ποιῆσαι ἐν τῷ χρυσίῳ καὶ ἐν τῷ ἀργυρίῳ καὶ
ἐν τῷ χαλκῷ καὶ ἐν τῷ σιδήρῳ καὶ ἐν τῇ πορφύρᾳ καὶ ἐν τῷ
κοκκίνῳ καὶ ἐν τῇ ὑακίνθῳ καὶ ἐπιστάμενον γλύψαι γλυφὴν μετὰ
τῶν σοφῶν τῶν μετ᾽ ἐμοῦ ἐν Ιουδα καὶ ἐν Ιερουσαλημ, ὧν ἡτοί-
μασεν Δαυιδ ὁ πατήρ μου. 7καὶ ἀπόστειλόν μοι ξύλα κέδρινα καὶ 7
ἀρκεύθινα καὶ πεύκινα ἐκ τοῦ Λιβάνου, ὅτι ἐγὼ οἶδα ὡς οἱ δοῦ-
λοί σου οἴδασιν κόπτειν ξύλα ἐκ τοῦ Λιβάνου· καὶ ἰδοὺ οἱ παῖδές
σου μετὰ τῶν παίδων μου 8πορεύσονται ἑτοιμάσαι μοι ξύλα εἰς 8
πλῆθος, ὅτι ὁ οἶκος, ὃν ἐγὼ οἰκοδομῶ, μέγας καὶ ἔνδοξος. 9καὶ 9
ἰδοὺ τοῖς ἐργαζομένοις τοῖς κόπτουσιν ξύλα εἰς βρώματα δέδωκα
σῖτον εἰς δόματα τοῖς παισίν σου κόρων εἴκοσι χιλιάδας καὶ κρι-
θῶν κόρων εἴκοσι χιλιάδας καὶ οἴνου μέτρων εἴκοσι χιλιάδας καὶ
ἐλαίου μέτρων εἴκοσι χιλιάδας. — 10καὶ εἶπεν Χιραμ βασιλεὺς 10
Τύρου ἐν γραφῇ καὶ ἀπέστειλεν πρὸς Σαλωμων Ἐν τῷ ἀγαπῆσαι
κύριον τὸν λαὸν αὐτοῦ ἔδωκέν σε ἐπ᾽ αὐτοὺς εἰς βασιλέα. 11καὶ 11
εἶπεν Χιραμ Εὐλογητὸς κύριος ὁ θεὸς Ισραηλ, ὃς ἐποίησεν τὸν
οὐρανὸν καὶ τὴν γῆν, ὃς ἔδωκεν τῷ Δαυιδ τῷ βασιλεῖ υἱὸν σο-
φὸν καὶ ἐπιστάμενον σύνεσιν καὶ ἐπιστήμην, ὃς οἰκοδομήσει οἶκον
τῷ κυρίῳ καὶ οἶκον τῇ βασιλείᾳ αὐτοῦ. 12καὶ νῦν ἀπέσταλκά σοι 12

2 2 εαυτω] ε > B† || 3 ο > A† | νεομηνιαις A† | του κυριου] tr. A*L*† || 5 οικοδομησαι αυτω] tr. AV† || 6 και $4^0$ > B | και εν τη υακινθω > B | γλυψαι] pr. του AV† | ων] α B || 9 κορων $1^0$ $BL^{p}$†] pr. πυρου A | κορων $2^0$] -ρου A† | χιλιαδας paenult. ⌒ ult. B*† | μετρων ult.] καδων A† || 10 εις > B† || 11 τω βασ. > B*† | συνεσιν .. επιστημην] tr. A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/865 UNIVERSITÄT LEIPZIG